κοινοὺς γοῦν καρποὺς, οὐ δ' ἰδίους, χρὴ ἔμεν.

LXXVIII.

*Discamus primis illecebris Diaboli repugnare, & actiones carnis spiritu mortificare. Qui enim primam scintillam nō opprimit, sed incendium materia alit, & motu excitat, is postea rogum inflāmatum & ardentē extinguere nulla ratione potest.*

τοῖς πρώτοις κακιῶν θελγήτροισιν χρὴ ἀπαντᾶν
καὶ νεκροῦν ὁρμὰς πνεύματι οὐλομένας.
πᾶς τις ὁ μὴ σβεννὺς ταχέως σπινθῆρα ἐν
εἶτα πυρὰν καυστὴν σβέννυμαι οὐ δύναται. (ἀρχῇ

LXXIX.

*Semper simus vigilantes & intenti,*

*intenti, ac primis initiis tentationum repugnemus, non foueamus nec alamus impias in animis opiniones, aut impios affectus.*

χρὴ νήφειν ἀγαθούς τε καὶ εὐλαβέεσθαι ἁμαρτεῖν,
ἠδ᾽ ἀνθίστασθαι τῇ κακοῦ ἀρχῇ ἀεί.
ἀρχὴν ἰᾶσθαι πολὺ κέρδιον ἢ τελευτήν,
τὴν ἀρχὴν ἔμφρων αἰὲν ἀκεῖται ἀνήρ.

LXXX.

*Non tantùm peccata, sed etiam occasiones, ut personæ, loca, tempora & similia, quæ viam peccandi præbent, piis vitanda sunt.*

οὐ μοῦνον κακίας αὐτάς, αὐτὰς καὶ ἀφορμὰς
τῶν κακιῶν πάσας χρὴ σόφον ἄνδρα φυγεῖν.
εἰσὶ δὲ οἱ καιροί, ἅμα καὶ τόποι, ἠδὲ πρόσωπα,
ἄλλά τε τοιαῦτα, πλεῖσται ἀφορμαὶ ἀεί.
παρθενικὴ Δεινὰ τόπον οὐ φεύγουσα πονηρόν,
τεῦξ᾽ ἄχος οἱ αὐτῇ, ἠδὲ τοκεῦσι γόον.
ταύτης μνησάμενος συμπάσας φεῦγε ἀφορ-
τῶν κακιῶν, κακίας ὃς φυγέειν ἐθέλεις. (μάς

LXXXI.

*Non accersamus nobis ultrò calamitates, sed rectè toleremus illas, quæ propter peccatum aut confeßionem doctrinæ nos premunt, etiam non accersitæ.*

πήματα θυμαλγῆ θνητὸς πεπνυμένος οὐδεὶς
αὐτῷ ἐπισπάτω πώποτε αὐτομάτως.
χρὴ δ᾽ εὖ τετλάμεναι κακὰ, ἡμᾶς ὅσσα πιέζει
τῆς βουλῆσι θεοῦ πατρὸς ἐπουρανίου.
Ἀηδία ἐν λύπῃ μωρὸς χειμῶνα ἐπισπᾷ,
ἀλλὰ σοφὸς παύει λαίλαπα ὀξαλέως.

LXXXII.

*Tu præsens cura, Domino committe futura.*

καδδύναμιν τὸ παρὸν ποίει πιστῶς, τὸ δὲ μέλλον
αἰὲν ἐπιτρέψον παμμεδέοντι θεῷ.

LXXXIII.

*Fide Deo, soli mundo diffide tibiq;,*
*Et tamen officium fac sine fraude tuum.*

Nec

*Nec facias quicquam, nisi quod fecisse necesse est,*
*Quamq́, dedit, norma est vna sequenda, Deus.*

εὖ πίστευε θεῷ, κόσμῳ καὶ σαυτῷ δ' ἀπιστῶν,
ἠδ' ἀδόλως ἔργον ῥέζε ἀεὶ σὺ τεόν.
καὶ μοῦνον τὸ ἀναγκαῖον ποίησον ἀμέμπτως,
γνώμονα θεὶς ἔργων ῥῆμα θεοῖο μόνον.

LXXXIIII.

*Optima ratio exordiendi siuè sermonem, siuè negotium, est, ducere principium à Deo, & in Deo desinere.*

τάξις τοι λαλέειν καὶ πράττειν ἐστὶν ἀρίστη,
ἐκ θεοῦ ἄρχεσθαι, ἔν τε θεῷ τελέσαι.
δωτὴρ καὶ ταμίης χαρίτων θεός ἐστιν ἁπασῶν
πλούσιος, εὐγνώμων, καὶ πολύολβος ἐών.
χρὴ γοῦν οὐ προφορὰν χαρίτων δωτῆρα τοσοῦτον,
μή ποτε αὐτοῦ ἀφέλῃ κάλλιμα δῶρα ἑά.
τοῖς ἀχαριστοῦσιν λήγει θεὸς αὐτὸν ὀπάζων,
οἳ ψεῦσται ἄδικοί τ' εἰσὶν ἅπαντες ἅμα.

## LXXXV.

*Optima scuta & clypei piorum sunt, promißiones Dei fide apprehensæ.*

ἀνδρῶν εὐσεβέων ἀσπίς τε καὶ ὅπλον ἄριστον,
αἱ μεγάλοιο θεοῦ εἰσὶν ἐπαγγελίαι.
αἳ πελέθουσι μόναι ἐν ἄλγεσι θυμοβόροισιν
ἄμπαυσις κρατερὴ, καὶ μόνιμος προβολή.

## LXXXVI.

*Vbicunq; erimus, sententia, voluntate & confeßione cum vera Ecclesia, quæ est pusillus grex & cœtus egenus ac pauper, perpetuò coniuncti simus, nec vllo tempore hoc sanctißimum fœdus rumpamus.*

αἰὲν, ὅπου ἐσμὲν, συμφωνήσωμεν ὁμίλῳ
ἐκλεκτῶν θνητῶν δόγματι ἠδὲ λόγῳ·
μικρὸν ποίμνιον ἣ θείη ἐκκλησία ἐστὶ,
δύσμορον, ἄκτημον, τληπαθὲς ἠδὲ τάλαν,

ὄλβιος ἔστιν ἀνὴρ, τούτου μέλος ὅστις ὑπάρχει.
οὐ ῥήξας ταύτην πώποτε συνθεσίην.

LXXXVII.

Vt extra arcam Nohæ nemo mansit incolumis: sic nulli erunt hæredes vitæ æternæ, nisi prius in hac mortali vita ciues fuerint huius Ecclesiæ, in qua sonat vox Euangelij.

ὡς θνητῶν πάντων οὐδεὶς ἔκτοσθε κιβωτοῦ
ἐνσέλμου σώθη Νῶε παρὸς γεραροῦ.
οὕτω καὶ μηδεὶς, ὁ μὴ ὢν μέλος ἱεροῦ ὁμίλου
χριστιανῶν, ἕξει οὐρανὸν εὐρὺν ἄνω.

LXXXVIII.

Non nostri solùm rationem habere debemus, sed etiam proximi, quia conditi sumus ad societatem & communicationem officiorum, sine qua societas manere non potest.

οὐχ ἡμῶν αὐτῶν φροντίζειν χρὴ μόνον ἡμᾶς,
ἀλλὰ καὶ ὀτραλέως τοῖς πέλας ἡμετέρου
θνητὸς ἀνὴρ εἰς τὸ χραισμεῖν ἐκτίσθη ἕκαστος,
δῶρα βροτοῖς ἄλλοις καὶ μεταδοῦμεν ἑά.

LXXXIX.

*Exemplis tristißimorum casuum admoniti, agnoscamus fallaces eße hominum spes, & fragilem fortunam, et moderemur animos in rebus secundis, nec nimis credamus serenitati prosperæ fortunæ.*

τοῖς φοβεροῖσι διδαχθέντες παραδείγμασιν ἄλλων,
γνῶμεν ἔμμεν δολερὰς ἐλπίδας ἀνδρομέας.
τὴν δὲ τύχην βροτέην ἀεὶ εἰδότες ἄστατον οὖσαν,
πιστεύσωμεν ἄγαν οὔποτε εὐτυχίῃ.

XC.

*Insanus est, qui alteri fortunam tanquam probrum exprobrat, cum nemo hominum sciat,*

*etiamsi*

*etiamsi florens sit, an ad vesperã sit eadem fortuna mansura.*

ὅστις ὀνειδίζει τὴν δυστυχίην βροτῷ ἀνδρί,
ἀτρεκέως ἄφρων ἠδ᾽ ἀνόητος ἔφυ.
οὐδεὶς γὰρ πάντων σάφ᾽ ἐπίσταται εὐτυχεόντων,
εἰ τύχη ἐς στιγμὴν τοῦ χρόνου ἥδε μενεῖ.

XCI.

*Tribuendus est cuiq; locus, quem meretur: & dona Dei in alijs data propter communem salutem, amanda & fouenda sunt: & Deo gratiæ agendæ pro donis, cuicunq; dederit.*

Χρὴ τόπον, ὅς πρέπει, ἀνδρὶ βροτῷ ἀπονέμειν
χωρὶς τοῦ μίσους καὶ φθόνου οὐλομένου. ἑκάστῳ
καὶ διὰ ὠφελίην κοινὴν τὰ θεόσδοτα δῶρα
ἐν ἄλλοις ἀγαπᾶν ἠδὲ σέβεσθαι ἀεί.

XCII.

*Quemadmodum Solis splendori cedunt fumi et nebulæ: ita veritas*

*ritas, Deo adiutore, tandem victrix est calumniarum. Hac ſententia pii eant ouantes animis, & ſpe ſua damna leuent.*

ὡς καπνοὶ δνοφεροὶ ἅμα καὶ νεφέλαι σκοτόεσσαι
εἴκουσιν λαμπρῷ τῷ φάει ἠελίου,
οὕτω καὶ, ἰδόντος θεοῦ, ἐνδόξως τὸ ἀληθὲς
διαβολὰς νικᾷ ὕστερον ἰοῦσα κακάς.
εἰδότες οὖν ἀγαθοὶ τάδε, θαρσείτωσαν ἀλύ-
διαβολαὶ ψευδεῖς οὐ κρατέουσιν ἀεί. (πως,

*XCIII.*

*Singuli ſuam infirmitatem, ſuos errores & lapſus, ſua peccata agnoſcant, ac ſeſe primùm puniant, & emendent: Poſtquam nos ipſos puniuimus & emendauimus, tùm primùm conſideremus, quandò & quo ordine debemus iudicare.*

πρῶτον

πρῶτον ἑὰς κακίας καὶ σφάλματα γνώτω ἕκα-
ἠδ' ἐπανορθούτω πάντα τάδ' ὀξαλέως. (στος
εἶτα δὲ ἐξέτασιν ποιῶν φραζέσθω ἀμέμπτως,
πῶς ἄλλους κρίνει εὖ καὶ ἐπισταμένως.
ἔστι κριτὴς ἄλλων ἀνθρώπων ἔννομος οὐδεὶς,
αὐτὸς ὁ μὴ κρίνων πρῶτον ἑαυτὸν ὅλως
πᾶς τις ἀνὴρ ἀγαθὸς πρῶτον ἐγκαλεῖ αὐτὸς ἑαυ-
εἶτα δ' ἀνακρίνει τοὺς πέλας εὐμενέως, (τόν,

XCIIII.

*Singuli in ciuili conuersatione & sapienter ferre imbecillitatẽ hominum, & prudenti dißimulatione communi tranquillitati condonare debemus.*

ἡμᾶς οὖν θνητοῖς ὄντας θνητῶν χρὴ ἀκιδνῶν
ἀσθενίαν φερέμεν σώφρονι θυμῷ ἀεί,
καὶ συνετῶς προορᾶν ἅμα καὶ συγγνῶναι ἑκόντι
ταύτην δημοσίῃ πάντοτε ἡσυχίῃ.
ῥεῖα βροτοῖς ἄλλοισιν συγγινώσκει ἕκαστος,
ὃς τῆς συγγνώμης δεύεται αὐτὸς ἀνήρ.

XCV.

*In Republica primùm opus*

*est ea inter ciues beneuolentia, vt non grauatim quod, quisque potest, ad vsum communem cōferat. Deinde vt quædam vitia in aliis dißimulet. Postremò vt sua diligentia & dexteritate ea sanet, et iacturam arte sarciat.*

πρῶτον τοῖς ἀστοῖς εὐνοίης προσδεῖ ἐκείνης,
ἣ κοινοῖ ἄλλοις πάντα ἑκοῦσ', ὅσ' ἔχει.
καὶ μετέπειτα τινας κακίας πράως φέρειν ἄλλων,
καὶ κρύπτειν ταύτας καθ' δύναμιν συνετῶς.
καὶ μετὰ ταῦτα ἑῇ σοφίῃ τέχνῃ τε ἀκεῖτ
σφάλματα, ἀφροσύνην, ἠδὲ καὶ ἀσθενίαν.
Βελτίστοιο ἑνὸς κάρατος μέλη ἐσμὲν ἅπαντες,
φροντίζειν ἕτερον χρὴ φιλικῶς ἑτέρου.

XCVI.

*Discamus æquo animo ferre lenta aularum beneficia, et præcipites iniurias, & à Deo defensionem petamus & exspectemus*

ὕβρεις ὠκείας, εὐεργεσίας τε βραδείας
τῶν αὐλῶν, πράως καὶ σοφὸν ἄνδρα φέρειν.
καὶ παρὰ τοῦ θεοῦ αἰτῆσαι ἅμα καὶ ἀναμίμνειν
ἔκλυσιν ἠδ' ἄλκαρ θυμῷ ἀλεξικάκῳ.

## XCVII.

*In hac vita gerimus* πόλεμον ἄσπονδον *cum hostibus Diabolis & eorum organis. Quare nunquã arma ponenda sunt, sed semper in statione manendum, vt impressionem hostilem sustinere possimus.*

νωλεμέως πολεμεῖ σατανᾶς πολυμήχανος ἡμῖν
ἐχθοδοποῖο μάχης οὔποτε παυόμενος.
δεῖ γοῦν γρηγορέειν ἡμᾶς νύκτας τε καὶ ἦμαρ,
ἠδὲ φυλάττεσθαι τὸν δόλον αὐτοῦ ἀεί.
οὐδεὶς εὕδει εὖ κινδυνεύων στρατιώτης,
ἀγρυπνεῖ δ' ἅμα καὶ μάρναται ὀτραλέως.

## XCVIII.

*Vt velocissimus quisq; si for-*

*te iter cum paruulo faciat, manum dat, & gradum ſuum minuit, nec procedit vltrà, quàm comes poßit: Sic nos non decipiamus alios, qui ingenio ſunt minus ſagaci, ſed eos amanter cōplectamur, & quibuſcunq́ poſſumus officijs iuuemus.*

Ὠκὺς ἀνὴρ ποτε ἰὼν ἁπαλοῦ μετὰ παιδὸς ὁδεύῃ,
οὐ σπεύδει λίην κραιπνὰ ποσὶν προβιβάς,
αὐτὰρ ὁδοῦ βραδέως περάει, τὴν χεῖρα παρα-
παιδαρίῳ παρέχει τούτῳ ἑαυτὸν ἴσον. χώρ
Οὕτω καὶ χραισμεῖν χρὴ κρείττονα χείρονι ἀνδρί,
μὴ δὲ ὑπερκόμπως τοῦδε καταφρονέειν.
Δῶρα θεὸς νέμει ἀνδρί, ὅπως ἐθέλῃσιν ἑκάστῳ,
ἄλλοτε δοὺς λιπαρῶς, ἄλλοτε αὖτ' ἀφελών.
Πᾶν τὸ χάρισμα καλόν, δῶρον θεοῦ ἐστὶν ἄνω-
γαυροῦσθαι δώροις οὐ θέμις ἀλλοτρίοις. (θεμ,

XCIX.

*Optima ratio diſcendi ſapientiam*

*tiam est, cõiungere studium & petitionem auxilij diuini.*

τῷ μαθέειν ὀρθὴν σοφίαν τρόπος ἐστὶν ἄριστος
συζεῦξαι εὐχὰς γνοιακεῖς τε πόνους.
ἄμφω γὰρ τούτω συμπίπτειν χρὴ πρὸς ἅπασαν
πρᾶξιν κυδαλίμην ἠδὲ καὶ ὠφέλιμον.

C.

*Discamus nec secundis rebus efferri, nec aduersis frangi, sed in vtraq; fortuna moderationẽ conuenientem pietati, & non abhorrentem à decoro, præstemus.*

οὐ μεγάλα φρονέειν ἐνὶ εὐτυχίᾳ, ἢ ἀθυμεῖν
ἐν τῇ δυστυχίᾳ, χρὴ σοφὸν ἄνδρα, λίην.
αὐτὰρ τὸ πρέπον ἐν τύχῃ ἀμφοτέρῃ διασώζειν
ἄξιον εὐσεβίης, ἀνέρος ἐστὶ σοφοῦ.

CI.

*Non est hominis pij præcipuè dolere in eo, quod accidit alijs*

*præstantioribus vel etiam vniuersis.*

πολλῶν ἀνθρώπων ἀγαθῶν κατ᾽ ἀπείρονα
γαῖαν
πήματα πασχόντων σχέτλια παντοδαπῶς,
οὐ χρὴ λυπεῖσθαι ἡμᾶς κεκοτηκότι θυμῷ,
εὔχεσθαί τε τύχην βελτίω ἀφραδέως.
οὐ θέμις ἐστὶν ἀχεῖν ἦτορ κεινοῖσι κακοῖσιν,
ἃ πάσχειν πλείους κρείττονάς ἐστιν ὁρᾶν.

## CII.

*Potenti Deo reuerenter nos subijciamus in rebus secūdis & aduersis, nec fauore fortunæ elati, spiritus altos geramus, nec propter ærumnas animo frangamur, sed qualiscunq; fortuna est, dicto Petri obtemperemus: Humiliamini sub potenti manu Dei, vt exaltet vos in tempore oportuno.*

Τῷ δὲ θεῷ εὐρυμέδοντι ἑκὼν πειθέσθω ἕκαστος
εὐδίας ἐν λευκῇ λαίλαπι τ' ἐν κρυερῇ.
Εὐσεβέος βροτοῦ ἐστὶ ταπεινοῦν αἰὲν ἑαυτὸν
χεῖρα ὑπὸ στιβαρὴν ἀθανάτοιο θεοῦ.
πρός τε τὸ ὑψῶσαι, καὶ πρὸς τὸ τάχιστα ταπεινοῦν,
ἔστιν ἀεὶ κρατερὴ χεὶρ κρατεροῖο θεοῦ.

# Η ΠΡΟΣΕΥΧΗ ΚΥΡΙΑΚΗ.

## Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Δύο ζητήσεις μάλιστα ἐν τῇ προσευχῇ τὰς ψυχὰς ἡμῶν βασανίζουσιν: ἡ μὲν, εἰ ὁ θεὸς βούλεται δοῦναι τἀγαθὰ, ἃ αἰτοῦμεν: ἡ δὲ, εἰ δύναται ταῖς εὐχαῖς ἡμῶν ἱκανὸν ποιῆσαι. ταύταις ταῖς τῶν ψυχῶν ἡμῶν φροντίσι, παραμυθίαι μάλιστα ἁρμόζουσαι ἀντιτάττονται. ἐπειδὴ μὲν γὰρ ὁ θεὸς ἐστι πατὴρ ἡμῶν, καὶ ὡς ἀληθῶς ἡμᾶς, ὥσπερ υἱοὺς ὡς ὅτι φιλτάτους, ἀγαπᾷ, ἀμφισβητήσοιμεν ἂν, τὸν θεὸν δαψιλῶς ἡμῖν ἅπαντα χορηγήσειν τὰ πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν φέροντα; τοσούτῳ γὰρ μείζων ἐστὶν ἡ τοῦ θεοῦ φιλανθρωπία τῆς φιλοστοργίας, τῆς εἰς τὰ τῶν τοκήων στήθη ἐγκεντρισθείσης, ὅσον αὐτὸς πάντων τῶν ὄντων ὑπερέχει.

Εἶτα δὲ, ὅτι μὲν ἐν τοῖς οὐρανοῖς τυγχάνει ὢν, τουτέστι, παντοκράτωρ κτιστὴς καὶ σωτὴρ πάσης τῆς κτίσεως, καὶ ἐπίκουρος ἐλευθερώτατος, ὁ πανταχοῦ παραγινόμενος, καὶ εἰσορῶν τοὺς τῶν καρδιῶν στεναγμούς.

ταύτην οὖν πληροφορίαν ἔχωμεν, ὅτι ὁ θεὸς μὴ μόνον ἐπίσταται καὶ βούλεται, ἀλλὰ καὶ δύναται.

# ORATIO DOMINICA.

## Pater noster, qui es in cœlis.

*DVæ quæstiones vehementer nostros animos inter precandū excruciant: Vna, an Deus velit dare bona, quæ petimus: Altera, an possit nostris votis satisfacere. His animorum nostrorum curis consolationes maximè congruentes opponuntur. Cum enim Deus sit Pater noster, & re vera nos diligat, tanquam filios sibi charissimos, possumus ne dubitare, quin larga manu omnia nobis suppeditaturus sit, quæ ad salutem nostrā pertinent? Tanto enim ardentior est Dei* φιλανθρωπία, *quàm* φιλοστοργία *parentum pectoribus insita, quantò ipse rebus omnibus præstat.*

*Deinde quoniam in cœlis est, id est, omnipotens conditor & conseruator naturæ rerum, & opitulator liberrimus, qui vbiq; adest, ac videt gemitus cordium.*

*Hanc igitur certam persuasionem teneamus, Deū non modò scire & velle, sed et-*

ναται, ὅσα αἰτούμεθα ἐπιτελέσαι, καὶ ταῦτα μὲν ταψιλέστερον, ἢ ἡμεῖς αἰτούμενοι τυγχάνομεν, ὡς Ἐφεσ. γ. ἥδιστα γράφεται: Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ, ὧν αἰτούμεθα, ἢ νοοῦμεν.

Ἴσως δ᾽ ἂν οὖν εἴποι τις: ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ τίνα τολμᾶν κτησάμενος, τὰς ἱκεσίας ποιήσῃ, τὸν θεὸν προσαγορεύων πατέρα, πολλὰς σαυτῷ συνοίδας ἁμαρτάνων, καὶ οὐδενὸς πλὴν τιμωριῶν ἄξιος ὤν; ταύτῃ τῇ ὑποφορᾷ ἀπαντᾷ Ἰωάννης κεφαλ. α: ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. καὶ ὁ Χριστὸς ἐγερθεὶς, Ιωαν κ: ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ θεόν μου, καὶ θεὸν ὑμῶν: ἔτι δὲ ψαλ. κβ. διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. καίπερ οὖν οὐκ εἰμὶ ἀναμάρτητος, ἀλλὰ πολλάκις τὰ μὲν εἰδὼς, τὰ δὲ ἀγνοῶν, εἰς θεὸν ἐξήμαρτον, ὅμως ἀκριβῶς οἶδα, εἶναι υἱὸς θεοῦ, καὶ ἀδελφὸς Χριστοῦ, διὰ τὴν τούτου τοῦ ἀρχιερέως ἐξαίτησιν, καὶ τούτῳ τῷ ἡγεμόνι πεπιστευκὸς, πρὸς θεὸν, ὡς πρὸς πατέρα φιλόστοργον, καταφεύγω, καὶ τὰς δεήσεις μου ὑπ᾽ αὐτοῦ δεχθῆναι καὶ εἰσακουσθῆναι πέπεισμαι.

Ὡς δὲ ἡ τοῦ πατρὸς ἡδίστη προσαγόρευσις ἡμᾶς τῆς πίστεως τε καὶ ἐπαγγελιῶν ὑπομιμνήσκει,

οὕτως

iam posse ea, quæ petimus, præstare, & quidem maiore mensura, quàm à nobis petuntur, vt Ephes. 3. dulcissimè scribitur: Qui potest super omnia facere abundantius, quàm nos petimus aut intelligimus.

Sed dixerit fortasse quispiam, Qua fiducia audes Deum appellare patrem, cum tot delictorum conscientiam circumferas, & nihil, nisi pœnas, meritus sis? Huic obiectioni occurrit Ioh. c. 1. Quotquot receperunt eum, dedit eis potestatem filios Dei fieri. Et Christus resuscitatus, Ioh. 20. inquit: Ascendo ad patrem meum, & ad patrem vestrum, ad Deum meum, & ad Deum vestrum. Item Psal. 22. Narrabo nomē tuum fratribus meis. Quanquam igitur non sum expers peccati, sed Deum multoties partim sciens, partim ignorans offendi: tamen exploratum habeo, me esse Filium Dei, & fratrem Christi, propter huius Pontificis intercessionem, & hoc duce fretus ad Deum, velut ad patrem φιλόστοργον, id est, amantem sobolis, confugio, meq́ ab eo recipi & exaudiri statuo.

Vt autem patris dulcissima appellatio nos de fide & promissionibus admonet: sic pro-

οὕτως ἡ ἀντωνυμία, τὸ ἡμῶν, ὑπόμνημά ἐστι τῆς ἀγάπης. οὐ μόνον ὅλῃ τῇ ἐκκλησίᾳ, ἀλλὰ καὶ συσεβέσιν ἑκάστοις ὀφειλομένης. διόπερ ἐν τῇ καθ᾽ ἡμέραν προσευχῇ ἐπὶ τὴν περὶ τῶν ἡμετέρων αὐτῶν δέησιν, ἐπιθῶμεν δέησιν περὶ τῆς σωτηρίας ὅλης τῆς ἐκκλησίας.

ἁγιασθήτω τὸ ὄνομά σου.

ὥσπερ πρώτη ἡ ἐντολὴ δημηγορεῖ περὶ τῆς ἀληθινῆς τοῦ θεοῦ γνώσεως, καὶ τῶν κινήσεων τοῦ θελήματος καὶ τῆς καρδίας, ταύτῃ τῇ γνώσει συνακολουθουσῶν: οὕτω τὸ πρῶτον τῆς προσευχῆς τῆς κυριακῆς μέρος αἰτεῖ, ἵνα ἡ δόξα τοῦ θεοῦ, τουτέστι, ἡ ἄπειρος αὐτοῦ σοφία, δικαιοσύνη, χρηστότης καὶ ἐλεημοσύνη, ἀψεύστοις τεκμηρίοις δηλωθεῖσα, γνωσθῶσι καὶ ὑμνηθῶσιν ὑπὸ τῶν ἀνθρώπων, οὐ μόνον ἐν τούτῳ τῷ βίῳ, ἀλλὰ καὶ ἐς ἅπαντα μετὰ ταῦτα χρόνον. τούτου γὰρ ἕνεκα ἐκτίσθη τὸ τῶν ἀνθρώπων γένος, ἵνα τὸν θεὸν γινώσκῃ, καὶ ὑμνήσῃ, καὶ αἰωνίου αὐτοῦ οἰκειότητος ἀπολαύσῃ. ἀεὶ δὲ τῇ αἰτήσει τῆς δόσεως τῶν ἀγαθῶν πραγμάτων, προσθῆναι δεῖ τὴν αἴτησιν περὶ τῆς τῶν ἐναντιουμένων κακῶν ἀναιρέσεως, τοῦτον τὸν τρόπον: δέομαί σου, ὦ ἀΐδιε καὶ ζῶν θεός, ἀΐδιε πάτερ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πά-

*nomen* noster, *cōmonefactio est dilectionis, qua non modò vniuersam Ecclesiam, sed & pios singulos complecti debemus. Quare in quotidiana precatione ad petitionem de nostris rebus adiungamus petitionem de salute totius Ecclesiæ.*

## Sanctificetur nomen tuum.

*Sicut primum præceptum concionatur de vera Dei agnitione, & de motibus voluntatis & cordis hanc notitiam comitantibus: ita prima pars Orationis Dominicæ petit, vt gloria Dei, id est, infinita ipsius sapientia, iustitia, bonitas & misericordia, certissimis argumentis patefacta, agnoscatur & celebretur à genere humano, non solùm in hac vita, sed etiam in omni æternitate. Ideo enim conditum est genus humanum, vt Deum agnoscat & celebret, & fruatur ipsius æterna consuetudine. Semper autem cum petitione donationis rerum bonarum, coniungatur petitio de contrariorum malorum deletione, hoc modo: Te oro æterne & viue Deus, æterne pater Domini nostri Iesu Christi, vt omnes*

*falsas*

σας ματαίας δόξας, καὶ διαπορήσεις, ἐκ ψυχῶν ἡμῶν ἀναιρεθῆναι, καὶ τὴν γνῶσιν καὶ προσκύνησιν τοῦ ὀνόματός σου ἐν τοῖς ἀνθρώποις διασῶσαι, ἀφανισθέντων πάντων εἰδώλων, βλασφημιῶν, αἱρέσεων, σκανδάλων, καὶ ἄλλων τοιούτων μανιῶν ἀναριθμήτων, τῶν τὸ ἁγιώτατον ὄνομά σου ἀτίμως ὑβριζόντων.

ἐλθέτω ἡ βασιλεία σου.

Διὰ παντὸς ἀεὶ τοῦ χρόνου σαυτῷ ἐν ἡμῖν συλλέγου αἰώνιον ἐκκλησίαν διὰ τῆς τοῦ εὐαγγελίου λειτουργίας καὶ τῆς τῶν μυστηρίων ἀκιβδήλου χρήσεως. κατάλυσον τὰς πύλας τοῦ ᾅδου, τὰς τὸ μικρὸν ποίμνιον, φύλακα τῆς διδαχῆς σου, ἀναστρέψαι σπουδαζούσας. ἁγίασον ἡμᾶς τῷ πνεύματι ἁγίῳ σου. φύλαξον καὶ κυβέρνα τὸ πλοιάριον, ὃ τοὺς ἀργοναύτας σου ὀχεῖ, ἐν μεγίστοις κύμασι καὶ ἀέλλαις τῶν θορυβουσῶν δυναστειῶν. ἔγειρε ἡμᾶς ἐκ νεκρῶν εἰς δόξαν καὶ ζωὴν αἰώνιον

γενηθήτω τὸ θέλημά σου.

ὦ θεός, ἐπειδὴ ἔδωκας ἡμῖν τὸ θέλειν, δὸς καὶ τὸ ἐνεργεῖν, ὑπὲρ τῆς εὐδοκίας. βοήθησον τοῖς τῆς ἐκκλησίας λειτουργοῖς, ἵνα τὸ εὐαγγέλιον καθαρῶς καὶ ἀκιβδήλως διδάξωσι, καὶ τὴν ἐξομολόγησιν

*falsas opiniones, & dubitationes ex nostris mentibus tollas, agnitionem ac inuocationem nominis tui inter homines conserues, deletis omnibus idolis, blasphemijs, hæresibus, scandalis, & alijs infinitis furoribus, qui tuum sanctißimum nomen contumelia afficiunt.*

## Adueniat regnum tuum.

*Semper tibi inter nos colligas æternam Ecclesiam, per ministerium Euangelij, & Sacramentorum incorruptum vsum: Destrue portas inferorum, quæ pusillum gregem, custodem tuæ doctrinæ, euertere conantur: sanctifica nos Spiritu sancto tuo, vt simus tua æterna hæreditas: Serua, rege ac defende nauiculam, quæ tuos argonautas vehit inter maximos fluctus & procellas tumultuantium imperiorum: Resuscita nos ex morte, ad gloriam & vitam sempiternam.*

## Fiat voluntas tua

*Deus cum dederis nobis, vt velimus, da etiam vt perficiamus, vt tibi fiant aliqua grata: adiuua ministros Ecclesiæ, vt Euangeliũ purè & incorruptè sonent, & profes-*

γησιν εὐσεβέσι τε καὶ ἁγνοῖς ἤθεσι κοσμήσωσι. κρύψον ὑπὸ τὴν σκέπην τῆς χειρός σου τοὺς διδάσκοντας καὶ μαθόντας ἐν ναοῖς καὶ διδασκαλείοις. ἴθυνε τὰ ἐπιτηδεύματα καὶ τοὺς τρόπους τῶν διδασκάλων καὶ μαθητῶν· χορήγησον βουλὰς σωτηρίους τοῖς ἄρχουσιν, ἵνα μεμνημένοι τοῦ ἔργου ἑαυτῶν, ὀρθῶς διοικῶσι τὰς κρίσεις. καὶ τὴν παιδείαν καὶ ὑπάρχωσι τροφεῖς τῆς ἐκκλησίας καὶ τὸ σύνολον, τοὺς οἴκους ἡμῶν, ὡς ἐνεστίους ἐκκλησίας, οὕτω κυβέρνα, ὥσθ' ὁ λόγος σου ἐνοικήσει ἐν αὐτοῖς πλουσίως, ἐν πάσῃ σοφίᾳ.

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον

Δὸς ἡμῖν βίον καὶ ὑγίειαν, ἵνα οἷοί τ' ὦμεν τοὺς τῆς κλήσεως πόνους ὑπομεῖναι· δὸς διατροφὰς καὶ σκεπάσματα ἀναγκαῖα, ξενοδοχεῖα μέτρια ἀγαθοὺς διδασκάλους, τοὺς τὴν νεότητα πιστῶς παιδεύοντας, σωτηρίους κυβερνήτους ἔν τε ἐκκλησίᾳ καὶ πολιτείᾳ. δωρῆσαι εἰρήνην καλὴν τοῖς τόποις, ἐν οἷς τυγχάνομεν διατρίβοντες, καὶ ὀφειλομένας καταπράϋνε τιμωρίας, ἧς μάλιστα ἄξιοί ἐσμεν.

καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

*sionem piis & castis moribus ornent: Protege vmbra manus tuæ agmina docentium & discentium in templis & scholis: Rege studia & mores doctorum & discipulorum: Rege consilio Magistratus, vt memores sui officii rectè administrent iudicia & disciplinã, & sint nutricii Ecclesiæ: Deniq; priuatas familias, tanquã domesticas Ecclesiolas, sic guberna, vt verbum tuũ in eis habitet abundè, cum omni sapientia.*

Panem nostrum quotidianum da nobis hodie.

*Da nobis vitam & bonam valetudinem, vt possimus sustinere labores vocationis: da victum & amictum necessarium, hospitia mediocria, bonos præceptores, qui iuuentutem fideliter erudiant, salutares gubernatores in Ecclesia & republica: concede pacem honestam iis locis, in quibus versamur, & mitiga pœnas, quas meriti sumus.*

Et remitte nobis debita nostra, sicut & nos remittimus debitorib. nostris.

Ἐλέησον ἡμᾶς διὰ τὸν υἱόν σου, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃν ἠθέλησας ἀνθ' ἡμῶν εἶναι μεσίτην, καὶ ἱκέτην, καὶ ἄφες ἡμῖν πάντα τὰ ἁμαρτήματα ἡμῶν· κάμψον τὰς ψυχὰς τὰς ἡμετέρας πρὸς ἀληθινὴν μετάνοιαν, ἐν ᾗ τῇ μὲν ἐπιγνώσει τῶν παραπτωμάτων ἡμῶν, καὶ διὰ τῆς ἀμίσθου συγχωρήσεως ἀκολουθοῖ καινὴ πειταρχία φεύγουσα καὶ εὐλαβουμένη οὐ μόνον τὰς ἁμαρτίας, ἀλλὰ καὶ πάσας τὰς τοῦ ἁμαρτεῖν καιροὺς καὶ ἀφορμὰς, καὶ ἀφεῖσα ἄλλοις τὰ κακά, ἃ μὲν ὑπ' αὐτῶν ἐπάθομεν· ἐπειδὴ δὲ ἡ ἡμετέρα συγχώρησις ἀκάθαρτός τε καὶ ἀτελής ἐστι, καὶ ὡς τὰ πολλὰ τοῦ τραύματος ἰαθέντος μένει μώλωψ, ἱκετεύομέν σε ὡς δυνάμεθα, εὐσεβέστατα ταῦτα τὰ ῥυπάσματα τῇ πλακὶ χρυσῇ ἱλαστηρίῳ λεγομένῃ, κατακαλύψαι, καὶ διὰ πνεύματος τοῦ ἁγίου σου πάσας τὰς πλανωμένας ἐπιθυμίας στέλλειν καὶ ἀποσβεννύναι.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἀεὶ λαμπέτω ἐν ἡμῖν τὸ εὐαγγέλιόν σου· στήριξον τὰς καρδίας ἡμῶν, ἵνα μὴ ἐπικουρείοις μανίαις, ἢ ἄλλαις μοχθηραῖς πλάναις περιπέσωσιν, ὧν ἐν τούτῳ τῷ ἐσχάτῳ καὶ παραληροῦντι γήρᾳ τοῦ κόσμου, μείζων εὐπορία ἐστίν, ἢ ἐν τοῖς πρότερον χρόνοις οὖσα ἐτύγχανε.

*Miserere nostri propter filium tuum Dominum nostrum Iesum Christum, quem voluisti pro nobis esse mediatorem & deprecatorem, & remitte nobis omnia peccata nostra: Flecte mentes nostras ad veram pœnitentiam, in qua agnitionem lapsuũ nostrorum & tuæ condonationis gratuitæ, sequatur noua obedientia, fugiens ac reformidans non solùm peccata, sed etiam omnes peccandi occasiones, & remittens aliis peccata, quibus offensi sumus. Cum autem nostra condonatio sit immunda & imperfecta, ac plerunq; vulnere sanato cicatrix maneat, te ardentibus gemitibus oramus, vt has sordes tabula aurea, quæ propitiatorium vocatur, tegas, & Spiritu sancto tuo omnes errantes cupiditates opprimas atq; extinguas,*

Et ne nos inducas in tentationẽ.

*Semper luceat in nobis Euangelium tuum: Confirma corda nostra, ne ruant in furores Epicureos, aut alios fanaticos errores, quorum in hac postrema & delirante senecta mundi vberior seges est, quàm olim fuit.*

πλεῖστοι εἰσὶν τῶν ἀνδρῶν εὐδοκιμωτάτων, οὐ μόνον ἐν τοῖς ἔθνεσιν, ἀλλὰ καὶ ἐν τῇ ἐκκλησίᾳ, οἷς ὁ Διάβολος μέγιστον ὄνειδος προσδιετρίψατο, οἳ καὶ πρότερον ἐν αὐτῷ δρόμῳ ἀπώλοντο, ἢ λιμένα ὁρᾶν ἠδυνήθησαν.

τίς γὰρ ἀγνοεῖ, ὡς σπουδαῖος ἀνὴρ ὁ Σαοὺλ ἐπιτυχὼν ὢν, καὶ ὡς πολλὰς πράξεις κατωρθώσατο; ἀλλ᾽ ὅμως οὗτος ὁ πρῶτος βασιλεὺς ἐν τῷ λαῷ Ἰουδαϊκῷ, τελέως ὡς οἷόντε πλεῖστον τοῦ δέοντος ἡμάρτηκε· προσέταξεν γὰρ ἀποσφαγῆναι τοὺς ἱερεῖς, τοὺς ξενίσαντας Δαβίδην τὸν φυγάδα. πρὸς δὲ τούτοις, ἀμελῶν καὶ καταφρονῶν θεοῦ, τοῦ αἰτίου πάσης τῆς σοφίας καὶ παραμυθίας, ἐπὶ γυναῖκα μαγικὴν κατέφυγεν, αἰτῶν αὐτὴν βουλὴν περὶ τοῦ πολεμῆσαι. τελευτῶν τῇ ὀργῇ καὶ ἀγανακτήσει νικηθεὶς, οἰκτίστως ἑαυτὸν ἀπέσφαξεν, καὶ αἰωνίῳ ἀπωλείᾳ ἐπιέπεσε. Τοσούτων τὸ πλῆθος κακῶν οὐ μόνον ἡ ἀνθρωπίνη ἀσθενία, ἀλλ᾽ ὁ Διάβολος, αἴτιός ἐστιν, ὁ πάντα τὰ ὄργανα θεοῦ τοιούτοις ὀνείδεσι καταρυπαίνειν ζητεῖ, ὡς τὰ Ἀαρῶνος, Δαβίδου, Σολομῶνος, πέτρου, καὶ ἄλλων ἀναριθμήτων παραδείγματα ἀποφαίνει.

Ἐπειδὴ μὲν οὖν ἐν τοσαύτῃ ἀρρωστίᾳ ἡμῶν, καὶ ἐν τοιαύταις καὶ τηλικαύταις τὸ μέγεθος τοῦ Διαβόλου ἐπιβουλαῖς, ταῖς διὰ νυ-

κτὸς

*Longus est catalogus summorum virorum, non solùm inter Ethnicos, sed etiam in Ecclesia, qui ingentib. probris à diabolo deformati sunt, & antè in ipso cursu oppreßi, quàm portum conspicere potuerunt.*

*Quis enim ignorat, quantus vir fuerit Saul, & quàm magnas res gesserit? Sed tamen hic primus rex in populo Dei quàm horribiliter ad extremum lapsus est? Iussit interfici familias sacerdotum, quæ Dauidi exulanti hospitium præbuerant: item deserto & relicto Deo, fonte omnis consilij & consolationis, ad magicam mulierculam confugit, petens ab ea consilium de ratione gerendi belli: tandem impatientia & indignatione fractus, necem sibi miserabiliter consciuit, & ruit in æternum exitium. Hæc tanta mala non solùm ab humana infirmitate, sed à Diabolo orta & profecta sunt, qui omnia organa Dei talibus probris deformare studet, vt exempla Aaronis, Dauidis, Salomonis, Petri & aliorum innumerabilium ostendunt.*

*Cum igitur in tanta infirmitate nostra & inter tot tàq; acres diaboli insidias, quæ*

κτὸς καὶ ἡμέρας ἡμᾶς περιβαλλούσαις. οὐδενὸς
ἀνδρὸς σοφία ἢ ἀρετὴ, τῆς τοῦ γε θεοῦ φυλακῆς
καὶ φρουρᾶς ἔρημος οὖσα, βέβαιος εἶναι δύ-
ναται ἀλλὰ ταχέως, ἄνθους δίκην, ἐκπίπτει:
παντὶ θυμῷ ἱκετευόμενοί σε, ὦ γε θεοῦ ζῶντος,
σταυρωθεὶς ὑπὲρ ἡμῶν καὶ ἀνεγερθεὶς Ἐμανουὴλ,
ποίησον ἡμᾶς σκεύη τοῦ ἐλέους, ἀλλ' οὐ τῆς ὀρ-
γῆς: βοήθησον τῇ ἀσθενείᾳ τῇ ἡμετέρᾳ, ὥσπερ
ὑπέσχου, λέγων: δεῦτε πρός με πάντες οἱ κοπι-
ῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω
ὑμᾶς. παῦε λαφυραγωγοῦντα διάβολον, τὸν
ἐν τοῖς παροῦσι καιροῖς πολὺ δεινότερον τὴν ἐκ-
κλησίαν μισοῦντα, ὅτι ὁρᾷ τὴν τῆς κρίσεως ἡμέ-
ραν οὐ μακρὰν ἀπεῖναι, ἐν ᾗ ἡ ὑπερβολὴ τῆς κα-
κουργίας αὐτοῦ τοῖς ἀγγέλοις τε καὶ ἀνθρώποις
δηλωθήσεται, καὶ τὰ τῆς τιμωρίας αὐτοῦ δια-
φερόντως αὐξηθήσεται. οἴδαμεν κύριε, ὅτι οὐχὶ
τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδ' ἀνὴρ πορεύεται καὶ
κατορθώσει πορείαν αὐτοῦ, κατεύθυνον οὖν τὰ
διαβήματα ἡμῶν κατὰ τὸ λόγιόν σου, καὶ μὴ κα-
τακυριευσάτω ἡμῶν πᾶσα ἀνομία· κατασ-
φράγισον ἐν ἡμῖν τὴν διδαχὴν τοῦ εὐαγγελίου
διὰ πνεύματος ἁγίου σου εἰς ἡδίστην ἡμέραν
ἀπολυτρώσεως, ἵνα πολλοῦ ἀξίαν παρακαταθή-
κην σοι ἀποδῶμεν οἷοί τ' ὦμεν εὐσεβῶς καὶ
ἀκιβδήλως, καὶ τυγχάνωμεν τοῦ στεφάνου, τοῦ ἀ-
ποκειμένου τοῖς ἀγαπῶσι τὸ ὄνομά σου.

noctes & dies vndiq; nos circumstant, nullius sapientia aut virtus destituta excubijs & custodia Filij Dei, perpetua esse possit, sed celeriter tanquam flosculus decidat, toto pectore te oramus, ô Fili Dei viui, crucifixe pro nobis & resuscitate Emanuel, fac nos vasa misericordiæ & non iræ: fer opem infirmitati nostræ, sicut promisisti inquiens, Venite ad me omnes, qui laboratis & onerati estis, & ego reficiam vos: Reprime grassantem diabolum, qui nunc maiores flammas odij acerbissimi aduersus Ecclesiam concipit, cum videat non procul abesse diem iudicij, in quo immensa ipsius turpitudo angelis & hominibus patefiet, & cruciatus eius horrendi augebuntur: Scimus Domine, quod non est hominis via eius, neq; est viri dirigere gressus suos: Dirige igitur tu gressus nostros secundum eloquium tuum, ne dominetur nobis omnis iniquitas: obsigna in nobis doctrinam Euangelij Spiritu sancto tuo, vsq; ad lætissimum diem redemptionis, vt præclarū depositum tibi reddere possimus piè & inuiolatè, & coronam consequi, quæ reposita est diligentibus nomen tuum.

ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ῥῦσαι ἡμᾶς ἐκ τούτων τῶν συμφορῶν τῶν δημοσίων τε καὶ ἰδίων εἰς διὰ ἁμαρτίας ἔνοχοι τυγχάνομεν οὕτως ῥῦσαι ἡμᾶς ἀπὸ τῆς τοῦ διαβόλου τυραννίδος. καταπραΰνε τὰς ποινὰς, ὧν ἄξιοί ἐσμεν. τελευτῶν ὅταν ἡμᾶς ἐκ τούτου τοῦ ἀσθενοῦς οἰκήματος εἰς τὴν αἰώνιον πατρίδα μέλλῃς ἐκκαλέσαι ἄπτε ἐν ταῖς καρδίαις ἡμῶν τὰς ἀρχὰς τῆς ζωῆς αἰωνίου. αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας, Ἰησοῦν Χριστόν.

ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας, Ἀμήν.

τοῦτο τὸ ἐπιφώνημα λέγει τὰς αἰτίας προκαταρκτικὰς ἅμα καὶ τελικὰς ἃς ἐν τῷ εὔχεσθαι θεὸν ἀναμνῆσαι ὀφείλομεν. προκαταρκτικὴ μὲν ἐστιν ἡ βασιλεία θεοῦ, τελικὴ δὲ ἡ δόξα. τουτέστιν, ἡ ἐπίγνωσις θεοῦ, καὶ ὁ ἔπαινος τοῦ ἐλέους, καὶ χρηστότητος θεοῦ

Ἐπειδήπερ σαυτὸν ἡμῖν ἀῤῥήτῳ ἀγαθότητι ἐδήλωσας, καὶ παρέδωκας τὸν λόγον σαυτοῦ, καὶ διὰ τοῦτον ἐν ἡμῖν οἰκεῖς, μὴ ἐάσῃς σβεσθῆναι τὸ φῶς τοῦ εὐαγγελίου σου, καὶ τὴν γνῶσιν ἅμα καὶ προσκύνησιν τοῦ ὀνόματός σου· μὴ ἐάσῃς ἀφανι-

## Sed libera nos à malo.

*Eripe nos ex his miserijs publicis & priuatis, quibus propter peccatum obnoxij sumus, libera nos à tyrannide diaboli, mitiga pœnas, quas meriti sumus: Denique cum voles nos ex hoc fragili domicilio euocare in æternam patriam, accende in nostris pectoribus initia vitæ æternæ. Hæc est autem vita æterna, vt agnoscant te solum esse Deum verum, & quem misisti, Iesum esse Christum.*

## Quia tuum est regnum, tua potentia, tua gloria, Amen.

*Hoc Epiphonema recitat causas impulsiuas & finales, quas Deo inter precandum subijcere atq; proponere debemus. Impulsiua est, regnum Dei, Finalis est, gloria, id est, notitia Dei, & laus misericordiæ ac bonitatis Dei.*

*Cum te nobis immensa bonitate patefeceris, & tradideris nobis verbum tuum, ac propter id inter nos habites, ne sinas extingui lucem Euangelij tui, & agnitionẽ ac inuocationem nominis tui: ne sinas*

ἀφανισθῆναι τῆς παιδείας, καὶ πάντα πληρωθῆναι τουρκικῆς ἀσεβείας καὶ ἀκαθαρσίας. εἰσάκουσον τῶν τῆς ἐκκλησίας σου στεναγμῶν διὰ τὸν υἱόν σου, ὃς ἔφη ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅ,τι ἂν αἰτήσητε πατέρα ἐν ὀνόματί μου, δώσει ὑμῖν.

Πολλάκις μὲν ταύτην τὴν τοῦ ψαλμοῦ φωνὴν ἀναλάβωμεν, ἣ θεὸν οὐκ ὀλίγον, ὡς ἔπος εἰπεῖν, κεντρίζει: μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα.

βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν
τῆς δόξης τοῦ ὀνόματός σου κύριε
ῥῦσαι ἡμᾶς.

deleri doctrinam de disciplina, ac plena omnia fieri Turcicæ impietatis & spurcitiæ: Exaudias Ecclesiæ tuæ gemitus, propter filium tuum, qui dixit: Amen, Amen dico vobis, quicquid petieritis patrem in nomine meo, dabit vobis.

Sæpe hanc vocem Psalmi repetamus, quæ acres stimulos, vt ita dicam, Deo adhibet: Ne memineris iniquitatum nostrarum antiquarum, citò anticipent nos misericordiæ tuæ, Quia pauperes facti sumus nimis. Adiuua nos Deus salutaris noster, & propter gloriam nominis tui Domine libera nos, &c.

# LECTORI S.

*NE vacuam chartam daremus, asscribenda esse putauimus verba Iosephi, quib. ornat Dominum nostrum Iesum Christum, et præcursorem Domini Ioannem Baptistam. Tuum erit nominisq; Christiani verba Iudaici scriptoris expendere, & his ac similibus testimonijs fidem confirmare.*

IOSEPHVS lib. 18 τῆς ἀρχαιολογίας cap. 4.

Γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς σοφὸς ἀνὴρ, εἴγε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων ποιητὴς, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων· καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ ἑλληνικοὺς ἐπηγάγετο. ὁ χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ᾽ ἡμῖν, σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἵγε πρῶτον ἀγαπήσαν-

τες,

τες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτα καὶ ἄλλα μυρία θαυμάσια περὶ αὐτοῦ εἰρηκότων, εἰς τε νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον.

*Fuit autem ijsdem temporibus* IESVS, *sapiens vir, si tamen virum eum nominare fas est. Erat enim mirabilium operum effector, & Doctor hominum eorum, qui libenter, qui vera sunt, audiunt. Et multos quidem Iudæorum, multos etiam ex gentibus sibi adiunxit, Christus hic erat. Hunc accusatione primorum nostræ gentis virorum, cum Pilatus in crucem agendum esse decreuisset, non deseruerunt hi, qui ab initio eum dilexerunt. Apparuit enim is tertia die iterum viuus, secundum quod diuinitus inspirati Prophetæ vel hæc, vel alia de eo innumera miracula futura esse prædixerant. Sed & in hodiernum diem, Christianorum, qui ab ipso nuncupati sunt, & nomen perseuerat & genus.*

Idem

Τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἡρώ-
δου στρατὸν ὑπὸ τοῦ θεοῦ, καὶ μάλα δικαίως τιν-
νυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ ἐπικαλουμένου
βαπτιστοῦ. κτείνει γὰρ τοῦτον Ἡρώδης ἀγαθὸν
ἄνδρα, καὶ τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπα-
σκοῦσιν, καὶ τὰ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ
πρὸς τὸν θεὸν εὐσεβείᾳ χρωμένοις βαπτισμῷ
συνιέναι. οὕτω γὰρ καὶ τὴν βάπτισιν ἀποδεκτὴν
αὐτῷ φανεῖσθαι, μὴ ἐπί τινων ἁμαρτάδων παραι-
τήσει χρωμένων ἀλλ᾽ ἐφ᾽ ἁγνείᾳ τοῦ σώματος.
ἅτε δὴ καὶ τῆς ψυχῆς δικαιοσύνῃ προεκκεκαθαρ-
μένης, καὶ τῶν ἄλλων συστρεφομένων, καὶ γὰρ ἤρθη-
σαν ἐπὶ πλεῖστον τῇ ἀκροάσει τῶν λόγων. δείσας
Ἡρώδης τὸ ἐπὶ τοσόνδε πιθανὸν αὐτοῦ τοῖς ἀν-
θρώποις μὴ ἐπὶ ἀποστάσει τινὶ φέρειν, πάντα γὰρ
ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράξοντες, πολὺ
κρεῖττον ἡγεῖται, πρίν τι νεώτερον ἐξ αὐτοῦ γενέ-
σθαι, προλαβὼν ἀνελεῖν τοῦ μεταβολῆς γινο-
μένης μὴ εἰς τὰ πράγματα ἐμπεσὼν μετανο-
εῖν. καὶ ὁ μὲν ὑποψίᾳ τῇ Ἡρώδου, δέσμιος εἰς
τὸν Μαχαιροῦντα πεμφθεὶς τὸ προειρημένον φρού-
ριον, ταύτῃ κτίννυται.

*Quibusdam Iudæis Herodis exercitus per iustam vindictam à Deo concisus esse visus est, vt pœnas is penderet Ioanni, qui Baptista cognominatus est. Occidit enim hunc Herodes vt virum bonum, qui Iudæos vir-*

os virtute exercenda, iusticia colenda, pietateq́ in Deum præstanda, ad baptismum conuenire iubebat. Tum demum enim gratum acceptumq́ Deo docebat eorum fore baptismum, si non tantùm peccata quædam per confeßionem deprecarentur, verùm etiam mundiciei & puritatis corporis, anima simul iustitiæ cultu repurgata, alijsq́ virtutibus omnibus studerent. Valde enim oratione eius permouebantur. Sed Herodes, eloquentiam viri, quod hominibus persuadendis efficax esset, suspectam habens, & rem in defectionem euasuram timens (Omnia enim de consilio Ioannis Iudæi facturi esse videbãtur) multò melius esse duxit, antequã quicquã ab eo nouatum esset, hominem præoccupare, & è medio tollere, quàm vt rerum mutatione facta, tum primum in ipso tumultu & periculo pœnitentia duceretur. Itaq; ille, propter huiusmodi Herodis suspicionem, in custodiam Macheruntem conijcitur, atq; ibi cæditur.

F I N I S.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113607-p0099-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113607-p0101-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113607-p0102-8

40 6/i,9

AB 40 6/i,9

ULB Halle 3
004 155 327

Sb.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113607-p0103-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113607-p0104-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-113607-p0105-5